καὶ χωριστοῦ καὶ μένοντος; ἔτι δ' εἴπερ ἔστι A τις οὐσία καὶ ἀρχὴ τοιαύτη τὴν φύσιν οἵαν νῦν ζητοῦμεν, καὶ αὕτη μία πάντων, καὶ ἡ αὐτὴ τῶν ἀϊδίων τε καὶ φθαρτῶν, ἀπορίαν ἔχει διὰ τί ποτε τῆς αὐτῆς ἀρχῆς οὔσης, τὰ μὲν ἐστὶν ἀΐδια τῶν ὑπὸ τὴν ἀρχὴν, τὰ δ' οὐκ ἀΐδια. τοῦτο γὰρ τὸ ἄτοπον. εἰ δ' ἄλλη μὲν ἐστὶν ἀρχὴ τῶν φθαρτῶν, ἄλλη δὲ τῶν ἀϊδίων, εἰ μὲν ἀΐδιος καὶ ἡ τῶν φθαρτῶν, ὁμοίως ἀπορήσομεν. διὰ τί γὰρ οὐκ ἀϊδίου τῆς ἀρχῆς οὔσης, B καὶ τὰ ὑπὸ τὴν ἀρχὴν ἀΐδια; φθαρτῆς δ' οὔσης, ἄλλη τις ἀρχὴ γίγνεται ταύτης, κἀκείνης ἑτέρα καὶ τοῦτ' εἰς ἄπειρον πρόεισιν. εἰ δ' αὖ τις τὰς δοκούσας μάλιστα ἀρχὰς ἀκινήτους εἶναι, τό, τε ὂν καὶ τὸ ἓν θήσει, πρῶτον μὲν εἰ μὴ τόδε τι καὶ οὐσίαν ἑκάτερον αὐτῶν σημαίνει, πῶς ἔσονται χωρισταὶ καὶ καθ' αὑτάς; τοιαύτας δὲ ζητοῦμεν τὰς ἀϊδίους τε C καὶ πρώτας ἀρχάς. εἴ γε μὴν τόδε τι καὶ οὐσίαν ἑκάτερον αὐτῶν δηλοῖ, πάντ' ἐστὶν οὐσία τὰ ὄντα. κατὰ πάντων γὰρ τὸ ὂν κατηγορεῖται, κατ' ἐνίων δὲ τὸ ἕν. οὐσίαν δ' εἶναι πάντα τὰ ὄντα, ψεῦδος. ἔτι δὲ τοῖς τὴν πρώτην ἀρχὴν τὸ ἓν λέγουσι, καὶ τοῦτο οὐσίαν, ἐκ δὲ τοῦ ἑνὸς καὶ τῆς ὕλης τὸν ἀριθμὸν γεννῶσι πρῶτον, καὶ τούτων οὐσίαν φάσκουσιν εἶναι, πῶς ἐνδέχεται τὸ λεγόμενον ἀληθὲς εἶναι; D τὴν γὰρ δυάδα, καὶ τῶν λοιπῶν ἕκαστον ἀριθμὸν τῶν συνθέτων πῶς ἓν δεῖ νοῆσαι; περὶ τούτου γὰρ οὔτε λέγουσιν οὐδὲν, οὔτε ῥᾴδιον εἰπεῖν. εἴ γε μὴν γραμμὰς, ἢ τὰ τούτων ἐχόμενα (λέγω δὲ ἐπιφανείας τὰς πρώτας) θήσει τις ἀρχὰς, ταῦτα δ' οὐκ εἰσὶν οὐσίαι χωρισταὶ, τομαὶ δὲ καὶ διαιρέσεις, αἱ μὲν ἐπιφανειῶν, αἱ δὲ σωμάτων, αἱ δὲ στιγμαὶ γραμμῶν· ἔτι δὲ πέρατα τῶν αὐτῶν E τούτων· πάντα δὲ ταῦτα ἐν ἄλλοις ὑπάρχει, καὶ χωριστὸν οὐδέν ἐστιν. ἔτι πῶς οὐσίαν ὑπολαβεῖν εἶναι δεῖ τοῦ ἑνὸς καὶ στιγμῆς; οὐσίας μὲν γὰρ πάσης γένεσίς ἐστι. στιγμῆς δ' οὐκ ἔστι. διαίρεσις γὰρ ἡ στιγμή. παρέχει δ' ἀπορίαν καὶ τὸ, πᾶσαν μὲν ἐπιστήμην εἶναι τῶν καθόλου, καὶ τοῦ τοιουδὶ, τὴν δ' οὐσίαν μὴ τῶν καθόλου εἶναι, μᾶλλον δὲ τόδε τι καὶ F χωριστόν. ὥστ' εἰ περὶ τὰς ἀρχάς ἐστιν ἐπιστήμη, πῶς δεῖ τὴν ἀρχὴν ὑπολαβεῖν οὐσίαν εἶναι; ἔτι πότερον ἐστί τι παρὰ τὸ σύνολον, ἢ οὔ; λέγω δὲ τὴν ὕλην, καὶ τὸ μετὰ ταύτης.

A separato, ac permanente? Item, si est aliqua substantia, & principium natura tale, quale nunc quærimus, & hoc omnibus vnum, & idem perpetuis, atque corruptibilibus, dubitationem habet, cur cùm idem principium sit, quædam, quę sub illo principio sunt, æterna sunt, quædam non. Et hoc enim inconueniens est, si aliud quidem corruptibilium principium, aliud æternorum est. Si etiam corruptibilium æternum est, similiter dubitabimus: cur e-B nim principio æterno existente, non sint æterna, quæ sub æterno sunt? corruptibili verò existente, aliud quoddā huius principium sit, & illius aliud, & hoc in infinitum procedet. Quod si quis rursus (quæ maximè videntur immobilia principia esse) ens & vnum ponat, primo quidem nisi quod quid & substantiam vtrunque eorum significet, quomodo separabilia, & per se ipsa erunt? talia nanque prima & æ-C terna principia quærimus. Quod si substantiam, & quod quid, vtrunque eorum significet, omnia entia substantiæ sunt, cùm de omnibus ens prædicetur: de quibusdam vero etiam vnum: cuncta vero entia substantiam esse, falsum est. Item illis, qui primum principium ipsum vnum aiunt, & hoc substantiam esse, ex vno vero, & materia, primo numerum generant, & hunc substantiam esse dicunt, quomodo contingit verum esse, quod dicitur? D dualitatem nanque, & cæterorum compositorum numerorum vnumquenque, quonam modo vnum intelligere oportet? De hoc enim nec dicunt aliquid, nec vt dicant facile est. Si quis vero lineas, aut quæ has sequuntur (dico autem primas superficies) principia esse ponat, hæc non sunt substantiæ separabiles, verùm decisiones & diuisiones, illæ quidem superficierum, hæ vero corporum: puncta vero linearum sunt, & etiam ipsarum earun-E dem termini: hæc autem omnia, in aliis sunt, & nihil separabile est. Item, quonam modo arbitrandum sit, vnius & puncti substantiam esse? Omnis nanque substantiæ, generatio est: puncti vero, minimè. Punctum enim diuisio est. Præbet autem dubitationem hoc etiam, quod omnis quidem scientia vniuersalium est, & eius, quod tale est: substantiam vero non esse vniuersalium, sed magis ipsum quod F quid & separabile. Quare si scientia circa principia est, quonam modo arbitrandum sit, principium substantiam esse? Item, vtrum est aliquid præter cunctū: dico autē materiam, & quod cum ea est, an non